μᾶλλον ἢ μεθ' ἡμῶν πολίτης εἶναι. οὐ τοίνυν οὐδ'
ὥσπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβάλοντο, ἐπειδὴ
ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραττον εὐτυχοῦντας,
οὐδὲ τούτων τι τῶν εὐτυχημάτων ἠξίωσε μετασχεῖν, ἐπὶ
κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελ-
θεῖν κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμ-
φερόντων· οὐ γὰρ ἦλθεν εἰς τὸν Πειραιᾶ, οὐδ' ἔστιν
ὅπου ἑαυτὸν ὑμῖν τάξαι παρέσχεν. καίτοιγε ὅστις εὐτυ- 10
χοῦντας ὁρῶν ἡμᾶς ἐτόλμα προδιδόναι, τί ποτε ὡς μὴ
ἐβουλόμεθά γε πράττοντας ἐποίησεν ἄν; ὅσοι μὲν τοίνυν
διὰ συμφορὰς ἰδίας οὐ μετέσχον τῶν τότε γενομένων
τῇ πόλει κινδύνων, συγγνώμης τινὸς ἄξιοί εἰσι τυχεῖν·
οὐδενὶ γὰρ οὐδὲν ἑκούσιον δυστύχημα γίγνεται· ὅσοι 11
δὲ γνώμῃ τοῦτο ἔπραξαν, οὐδεμιᾶς συγγνώμης ἄξιοί
εἰσιν· οὐ γὰρ διὰ δυστυχίαν ἀλλὰ δι' ἐπιβουλὴν ἐποίη-
σαν αὐτό. καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν ἀν-
θρώποις τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι
τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν, τοῖς δὲ πένησιν ἢ
ἀδυνάτοις τῷ σώματι συγγνώμην ἔχειν διὰ τὸ ἡγεῖσθαι
ἄκοντας αὐτοὺς ἁμαρτάνειν. οὗτος τοίνυν οὐδεμιᾶς 12
συγγνώμης ἄξιός ἐστι τυχεῖν· οὔτε γὰρ τῷ σώματι
ἀδύνατος ἦν ταλαιπωρεῖν, ὡς καὶ ὑμεῖς ὁρᾶτε, οὔτε τῇ|
οὐσίᾳ ἄπορος λῃτουργεῖν, ὡς ἐγὼ ἀποδείξω. ὅστις οὖν
ὅσον δυνατὸς ἦν ὠφελεῖν, τοσοῦτον κακὸς ἦν, πῶς οὐκ
ἂν εἰκότως ὑπὸ πάντων ὑμῶν μισοῖτο; ἀλλὰ μὴν οὐδ' 13
ἀπεχθήσεσθέ γε τῶν πολιτῶν οὐδενὶ τοῦτον ἀποδοκι-
μάσαντες, ⟨ὃς⟩ οὔ τι τοὺς ἑτέρους ἀλλ' ἀμφοτέρους
φανερός ἐστι προδούς, ὥστε μήτε τοῖς ἐν τῷ ἄστει γενο-
μένοις φίλον προσήκειν εἶναι τοῦτον (οὐ γὰρ ἠξίωσεν
ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας), μήτε τοῖς τὸν Πει-
ραιᾶ καταλαβοῦσιν· οὐδὲ γὰρ τούτοις ἠθέλησε συγ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/243 UNIVERSITÄT LEIPZIG